καὶ ἀνεκουφίσθη. καὶ μετέωρα φρονεῖ ἤδη. Καὶ περὶ καπνοῦ.] ἀντὶ τοῦ περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. κενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ τὸ μετεωρολεσχεῖν δὲ τὸ στενολεσχεῖν εἴληπται καὶ τὸ μηδέν.

A

καὶ τοῦτο δὲ τὸ λεπτολογεῖν διασυρμοῦ λέγει χάριν. ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν μὴ ἔχοντας ὅ,τι ἀπολογήσωνται.

Σω. Βλέπε νυνὶ δευρὶ πρὸς τὴν Πάρνηθ'. ἤδη γὰρ ὁρῶ κατιούσας
Ἡσυχῇ αὐτάς. Στ. φέρε ποῦ; δεῖξον. Σω. χωροῦσ' αὗται πάνυ πολλαί,
Διὰ τῶν κοίλων καὶ τῶν δασέων αὗται πλάγιαι. Στ. τί τὸ χρῆμα,
Ὡς οὐ καθορῶ; Σω. παρὰ τὴν εἴσοδον. Στ. ἤδη νῦν μόλις ὁρῶ.
Σω. Νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς εἰ μὴ λημᾷς κολοκύνταις.
Στρ. Νὴ Δί' ἔγωγ' ὦ πολυτίμητοι. πάντα γὰρ ἤδη κατέχουσι.
Σω. Ταύτας μέντοι σὺ θεὰς οὔσας, οὐκ ᾔδεις; οὐδ' ἐνόμιζες;
Στρ. Μὰ Δί' ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ σκιὰν εἶναι.
Σω. Οὐ γὰρ μὰ Δί' οἶσθ' ὅτι πλείστους αὗται βόσκουσι σοφιστάς,
Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,

SO. *Huc respice versus Parnetem: hic ipsas descendere cerno*
*Sat placidè.* ST. *Age vbi? commonstra.* SO. *magno sanè huc agmine tendunt,*
B
*Per loca caua densaq́. sed ipsa obliquæ.* ST. *quidnam rei hoc sit,*
*Quòd nusquam video?* SO. *iuxta ingressum.* ST. *vix eas cerno etiamnum.*
SO. *At nunc iam cernis, nisi cucurbitam in ipsis oculis malè lippis.*
ST. *Video per Iouem ego, ô venerandæ: námque opplent omnia Nubes.*
C
SO. *An verò Deas tu hasce ignorabas, nec statuebas?*
ST. *Non equidem: sed credebam nebulam & rorem, umbrámque nigrantem.*
SO. *Ergo ignorasti, hæ quòd multos pascúntque fouéntque sophistas:*
*Vates augurij, acres medicos, digiti gnauamulo-comtos,*

D

Σχόλια. Βλέπε νῦν.] καθ' ὑπερβατόν. βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως. ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. Πάρνης δὲ ὄρος τῆς Ἀττικῆς. ἔστι καὶ ἀρσενικῶς λέγεται ὡς τό ἐς κόρακας ἥξω φέρων τε δεῦρο τὸν Πάρνηθα ὅλον. καὶ θηλυκῶς ὡς ἐνταῦθα. εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται. Χωροῦσ' αὗται.] τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον. εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος προστίθησι πλέον ἐκτείνων τὴν προφορὰν τοῦ λόγου, τὸ αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον, τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τῷ τῶν ὑποκρινομένων σχήματι δείκνυσι. δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται. Εἰ μὴ λημᾷς.] τῶν Νεφελῶν πλησίον οὐσῶν. ἐκεῖνος μὴ δ' οὕτως ὁρῶν, τὸ νῦν προσέθηκεν, ἵν' ᾖ τὸ νοούμενον οὕτως. νῦν αὐτὰς ὁρᾷς εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν, ἵν' ᾖ ἐν κολοκύνταις, ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον οὐκ ὤκνησεν εἰπεῖν, χύτραις λημῶντες. Νὴ Δί' ἔγωγε.] ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γὰρ πλησίον οὐσῶν. Σοφιστάς.] ἐν ἄλλοις τοὺς πεπαιδευμένους. νῦν δὲ τοὺς μετεωρολέσχας λέγει. καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους. καὶ θαυμαστὸν οὐδὲν ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτως ἀγορεύειν ὤκνησαν. Πλάτων γὰρ οὖν ὁ κωμικὸς ἐν δράμασι Σοφισταῖς, καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην, εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν καταχωρῶν δὲ νῦν πάσης ἐπιστήμης, παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. Σοφισταὶ οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες. καὶ οἱ διδάσκαλοι. καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει. ὡς τοὺς ἄλλους σοφίζοντας. Θουριομάντεις.] ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστάς, ἐπήγαγε τίνας καὶ τίνας. Θουριομάντεις δέ, οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας, ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες. ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάρεως Θούριοι ἐκλήθησαν ἀπὸ Κρήνης Θουρίας. ὕστερον δὲ Ἀππίαι. λέγεται καὶ Θούριον. ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι.

E

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν.
F
Δωριέων πάτρης βλαστόντ' ἄπο. τῶν γὰρ ἄπλητον
Μῶμον ὑπεκπροφυγὼν, Θούριον ἔσχε πάτρην.

τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι καὶ Θουριακοί. καὶ Θουρῖνος οἶνος ὡς Στράβων. Παυσανίας δὲ ἀνθείαν αὐτὴν καλεῖ. ἄλλως. πολλῶν γενομένων μαντειῶν ἐπὶ τῆς εἰς Θουρίαν ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ἐκ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας. Ἰατροτέχνας.] καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὑδάτων συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ Νεφέλαι.
G
σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων τόπων καὶ ὑδάτων. Σφραγιδονυχαργοκομήτας.] τοὺς κόμῃ καὶ ποικίλοις δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι. τῶν ὀνύχων ἐπιμελουμένους καὶ ὁσημέραι ξύοντας αὐτούς, ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν. ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον.